v. 26. „Schimpfliche Dinge das mit Augen und ein Arg zu sehen". So wenig, wie bei „das ist schändlich zu sehen" dem Deutschen klar zum Bewusstsein kommt, ob in „das" ein Nominativ oder Accusativ steckt, wird der Grieche darüber reflectirt haben, ob man τά γ' als Nominativ zu fassen hat: τά γ' αἰσχρά ἐστι, wo dann ἰδεῖν explicirender Infinitiv ist, und bei νεμεσητὸν ἰδεῖν der Accusativ αὐτὰ ergänzt wurde, oder als Accusativ in der Verbindung αἰσχρὰ καὶ νεμέσητόν ἐστι τά γε ἰδεῖν. Jedenfalls zwingt die Stellung von ὀφθαλμοῖς, auch ἰδεῖν sowohl mit αἰσχρά wie mit νεμεσητὸν zu verbinden.

v. 27. χρόα γυμν.] „am Leibe (den Leib) entblösst". — πάντ' ἐπέοικεν] die griechischen Knaben und Jünglinge übten sich nackt in der Palaestra, und nackt traten die Athleten bei den Festspielen auf.

v. 28. ὄφρ'] in Prosa ἕως ἄν.

ἀνδράσι μὲν θνητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών. 30
[ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών].

Καλά γε, ὦ ἄνδρες, καὶ χρήσιμα τοῖς βουλομένοις προσέχειν. 108 *οὕτω τοίνυν εἶχον πρὸς ἀνδρείαν οἱ τούτων ἀκούοντες, ὥστε πρὸς τὴν πόλιν ἡμῶν περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν, εἰκότως· τὰ γὰρ κάλλιστα τῶν ἔργων ἀμφοτέροις ἦν κατειργασμένα. οἱ μὲν γὰρ ⟨ἡμέτεροι⟩ πρόγονοι τοὺς βαρβάρους ἐνίκησαν οἳ πρῶτοι τῆς Ἀττικῆς ἐπέβησαν, καὶ καταφανῆ ἐποίησαν τὴν ἀνδρείαν τοῦ πλούτου καὶ τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην. Λακεδαιμόνιοι δ' ἐν Θερμοπύλαις παραταξάμενοι ταῖς μὲν τύχαις οὐχ ὁμοίαις ἐχρήσαντο, τῇ δ' ἀνδρείᾳ πολὺ πάντων διήνεγκαν. τοι-* 109 *γαροῦν ἑκατέροις ἐπιτύμβια μαρτύρια ἔστιν ἰδεῖν τῆς ἀρετῆς αὐτῶν ἀναγεγραμμένα ἀληθῆ πρὸς ἅπαντας τοὺς Ἕλληνας, ἐκείνοις μέν·*

ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων πειθόμενοι νομίμοις,

τοῖς δὲ ὑμετέροις προγόνοις·

Vgl. Theognis 1007 *ὄφρα τις ἥβης ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ*, Simonides bei Stob. *ἀνθ.* 98. 29 v. 7. *θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήριτον ἥβης, Κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.* Zu dem Uebergang von *νέοισι* auf *ἔχῃ* vgl. Eur. Suppl. 436, 453 und Rehd. D. I.[1] Uebergang.

v. 30. *καλὸς δ' ἐν προμαχοισι πεσών*] schliesst mit demselben Gedanken, welcher die Elegie anfängt, *τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα*, und das Thema (s. v. 14 *θνήσκωμεν*) bildet, die Elegie so schön ab, dass man glauben muss, das folgende (aus Homer *M.* 457 stammende) Distichon, sei aus Tyrtaios' El. 2 v. 21 u. 22, wo es seine richtige Stelle hat, hieher als Parallele an den Rand, dann in den Text gekommen. Dann schliesst sich an das *καλὸς δ'* auch schön an Lykurgs:

§. 108. *Καλά γε*] Epiphonem, wie § 77; s. D. I.[2] *γε*. — *εἶχον*] zu § 104. — *εἰκότως*] „natürlich"; s. Anh. 2 zu § 47. — *ἡμέτεροι*] s. Anh. 1. Lykurg hat hier Isok. 4. 85 f. sichtbar vor Augen. — *οἳ πρῶτοι*] s. Anh. 1. — *τὴν ἀνδρείαν τοῦ πλούτου καὶ τὴν ἀρετὴν τοῦ πλήθους π.*] vgl. Plato Menex. 240[d] *διδάσκαλοι τοῖς ἄλλοις γενόμενοι, ὅτι οὐκ ἄμαχος εἴη ἡ Περσῶν δύναμις, ἀλλὰ πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπείκει*, D. 3. 36 *ὃ καὶ Περσῶν ἐκράτησε πλούτου*, Andok. 1. 107. — *οὐχ ὁμοίαις*] s. Anh. 1.

§ 109. *ἑκατέροις ἐπιτύμβια*] s. Anh. 1. — *πρὸς*] „gerichtet an", § 102. — Pari animo [sagt Cicero Tusc. 1. c. 42] Lacedaemonii in Thermopylis occiderunt, in quos Simonides (Dichter auch des zweiten Epigramms): Dic, hospes, Spartae, nos te hic vidisse jacentes, Dum sanctis patriae legibus obsequimur. — *ἄγγειλον . . πειθόμενοι νομίμοις*] Anh. 1. — *χρυσοφόρων*] s. Xen. An. 1. 8. 29. — *Μήδων*] oft identisch mit *Περσῶν*. — *ἐστόρεσαν*] straverunt (haben zu Boden ge-streut); *τῶν Πελοποννησίων στορέσωμεν τὸ φρόνημα* Thuk. 6. 18. 4.

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

110 *Ταῦτα, ὦ Ἀθηναῖοι, καὶ μνημονεύεσθαι καλὰ καὶ τοῖς πράξασιν ἔπαινος καὶ τῇ πόλει δόξα ἀείμνηστος· ἀλλ' οὐχ ὃ Λεωκράτης πεποίηκεν, ἀλλ' ἑκὼν τὴν ἐξ ἅπαντος τοῦ αἰῶνος συνηθροισμένην τῇ πόλει δόξαν κατήσχυνεν. ἐὰν μὲν οὖν ἀποκτείνητε αὐτόν, δόξετε πᾶσι τοῖς Ἕλλησι καὶ ὑμεῖς τὰ τοιαῦτα τῶν ἔργων μισεῖν· εἰ δὲ μή, καὶ τοὺς προγόνους τῆς παλαιᾶς δόξης ἀποστερήσετε καὶ τοὺς ἄλλους πολίτας μεγάλα βλάψετε. οἱ γὰρ ἐκείνους μὴ θαυμάζοντες τοῦτον πειράσονται μιμεῖσθαι, νομίζοντες ἐκεῖνα μὲν παρὰ τοῖς πολλοῖς εὐδοκιμεῖν, παρὰ δ' ὑμῖν ἀναίδειαν καὶ προδοσίαν καὶ δειλίαν κεκρίσθαι κάλλιστον.*

111 *Εἰ ⟨δὲ⟩ μὴ δύνασθε ὑπ' ἐμοῦ διδαχθῆναι ὃν τρόπον δεῖ πρὸς τοὺς τοιούτους ἔχειν, σκέψασθε ἐκείνους τίνα τρόπον ἐλάμβανον παρ' αὐτῶν τὴν τιμωρίαν· ὥσπερ γὰρ τὰ καλὰ τῶν ἔργων ἠπίσταντο ἐπιτηδεύειν, οὕτω καὶ τὰ πονηρὰ προῃροῦντο κολάζειν. ἐκεῖνοι γάρ, ὦ ἄνδρες, θεωρήσατε ὡς ὠργίζοντο τοῖς προ-*

112 *δόταις καὶ κοινοὺς ἐχθροὺς ἐνόμιζον εἶναι τῆς πόλεως. Φρυνίχου γὰρ | ἀποσφαγέντος νύκτωρ παρὰ τὴν κρήνην τὴν ἐν τοῖς*

§ 110. *Ταῦτα . καὶ μνημονεύεσθαι καλὰ*] „dies (was die Verse feiern) ist auch in der Erinnerung schön"; Rehd. zu Xen. An. 3. 1. 23, Kühner Gr. 2 S. 585. — *τοῖς πράξασιν*] Anh. 1. — *ἀλλ' οὐχ ὁ Λεωκρ. π.*] mit jähem Sprunge wirft sich die durch die verlesenen Gedichte und die Erinnerung an deren Inhalt hochaufgeschwollene Fluth der Begeisterung zurück auf das Thema der Rede, mit ihrer *ὑπερβολή*: „vielmehr willentlich (ob *ἑκὼν* ob *ἄκων* war vor Gericht sehr wichtig, D. 21. 43, 56. 42) hat er den seit Ewigkeit zusammengehäuften Ruhm Athens geschändet" (massvoller § 82 *τὴν μετὰ πολλῶν πόνων συνειλεγμένην εὔκλειαν καταλυομένην*), für Leokrates, wenn die Hörer ebenso ergriffen sind, geradezu todbringend. — *ἐκεῖνα μὲν*] durch die Verschiebung des *μὲν* (s. D. I.[2] *μέν*) fällt logisch das Hauptgewicht auf den furchtbar bitteren Schluss: *ἀναίδειαν καὶ προδοσίαν καὶ δειλίαν κεκρίσθαι κάλλιστον*, welcher seinerseits die Copula (D. I.[2]) und *τι* (D. I.[2]) abwirft. — *πολλοῖς*] Anh. 1.

§ 111. Alles von § 68 an Gesagte, so gewiss es pathetisch wirksam war, hatte doch juristisch nicht die geringste Beweiskraft; ebensowenig die folgenden Beispiele, die von erwiesenen Verräthern und deren Bestrafung handeln. — *Εἰ δὲ μὴ*] s. Anh. 1. — *ἐκείνους*] n. *τ. προγόνους* § 110. — *τὴν τιμωρίαν*] „die gebührende Strafe" (Frohb. zu Lys. 24. 27). — *τὰ καλὰ τῶν ἔργων*] wie § 111, *τὰ κάλλιστα τῶν ἔργων* § 102 u. 108, wie überhaupt Lykurg diese feierlichere Ausdrucksweise weit häufiger als die übrigen Redner braucht: § 6; 104, 110, 133; 18; 48 u. ö. — *προῃροῦντο*] § 102; D. I.[2] *πρό*. — *ἐκεῖνοι . θεωρήσατε ὡς ὠργίζοντο*] nachdrucksvoller als wenn proleptisch *ἐκείνους* geschrieben wäre; vgl. § 75, Isae. 9. 30 *ἐγὼ δὲ ὦ ἄ. ὡς διεκείμην πρὸς τὸν ἀδελφόν, σκέψασθε*. — *ἐνόμιζον*] n. *αὐτούς*; Frohb. zu Lys. 19. 64.

§ 112. *Φρυνίχου*] s. Anh. 3. —

οἰσυίοις ὑπὸ Ἀπολλοδώρου καὶ Θρασυβούλου, καὶ τούτων ληφθέντων καὶ εἰς τὸ δεσμωτήριον ἀποτεθέντων ὑπὸ τῶν τοῦ Φρυνίχου φίλων, αἰσθανόμενος ὁ δῆμος τὸ γεγονὸς τούς τε εἰρχθέντας ἐξῆγε καὶ βασάνων γενομένων ἀνέκρινε, καὶ ζητῶν τὸ πρᾶγμα εὗρε τὸν μὲν Φρύνιχον προδιδόντα τὴν πόλιν, τοὺς δ' ἀποκτείναντας αὐτὸν ἀδίκως εἰρχθέντας· καὶ ψηφίζεται ὁ δῆμος Κριτίου 113
εἰπόντος τὸν μὲν νεκρὸν κρίνειν προδοσίας, κἂν δόξῃ προδότης ὢν ἐν τῇ χώρᾳ τεθάφθαι, τά τε ὀστᾶ αὐτοῦ ἀνορύξαι καὶ ἐξορίσαι ἔξω τῆς Ἀττικῆς, ὅπως ἂν μὴ κέηται ἐν τῇ χώρᾳ μηδὲ τὰ ὀστᾶ τοῦ τὴν χώραν καὶ τὴν πόλιν προδιδόντος. ἐψηφίσαντο 114
δὲ καὶ ἐὰν ἀπολογῶνταί τινες περὶ τοῦ τετελευτηκότος, ἐὰν ἁλῷ ὁ τεθνηκώς, ἐνόχους εἶναι καὶ τούτους τοῖς αὐτοῖς ἐπιτιμίοις· οὕτως οὐδὲ βοηθεῖν τοῖς τοὺς ἄλλους ἐγκαταλείπουσιν ἡγοῦντο δίκαιον εἶναι, ἀλλ' ὁμοίως ἂν προδοῦναι τὴν πόλιν καὶ τὸν διασώζοντα τὸν προδότην. τοιγαροῦν οὕτω μισοῦντες τοὺς ἀδικοῦντας καὶ τοιαῦτα κατ' αὐτῶν ψηφιζόμενοι ἀσφαλῶς ἐκ τῶν κινδύνων ἀπηλλάττοντο. Λαβὲ δὲ αὐτοῖς τὸ ψήφισμα, γραμματεῦ, καὶ ἀνάγνωθι.

ΨΗΦΙΣΜΑ.

Ἀκούετε, ὦ ἄνδρες, τούτου τοῦ ψηφίσματος. ἔπειτα ἐκεῖνοι 115
μὲν τὰ τοῦ προδότου ὀστᾶ ἀνορύξαντες ἐκ τῆς Ἀττικῆς ἐξώρισαν, καὶ τοὺς ἀπολογουμένους ὑπὲρ αὐτοῦ Ἀρίσταρχον καὶ Ἀλεξικλέα ἀπέκτειναν καὶ οὐδ' ἐν τῇ χώρᾳ ταφῆναι ἐπέτρεψαν·

παρὰ τὴν κρήνην] „bei dem Brunnen“ (d. i. eingefasste Quelle), näher bezeichnet, weil es natürlich deren viele in Athen gab (Dem. 3. 29), durch „dem unter den Weiden“ (vgl. „unter den Linden“ in Berlin). — ληφθέντων] = συλληφθ., auch § 52 u. ö. (Anh. 2). — ἀποτεθέντων] bei Seite gebracht (in Verwahrsam), st. des gewöhnlichen ἀπάγειν (vgl. κατατίθεσθαι εἰς τὸ οἴκημα D. 56. 4, εἰς τὸ δεσμωτήριον 24. 63 in e. Gesetze). — προδιδόντα] wie § 113 προδιδόντος; vgl. Xen. Hell. 1. 7. 22 νόμος ἐστὶν ἐπὶ τοῖς ἱεροσύλοις καὶ προδόταις, ἐάν τις ἢ τὴν πόλιν προδιδῷ ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικαστηρίῳ, ἂν καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ, τὰ δὲ χρήματα αὐτοῦ δημόσια εἶναι.

§ 113. Κριτίου εἰπόντος] „auf K. Antrag“. — κρίνειν] zu § 3. — ὢν] „als“ (obwohl). — τε] verschoben, zu § 56. — ὅπως ἂν] zu § 86.

§ 114. ἀπολογῶνται περὶ] dagegen § 115 ὑπὲρ (s. D. I.[2] ὑπέρ u. I.[1] Wechsel), entschuldigend reden über und für jemand. — ἂν προδοῦναι] = ὅτι ἂν προδοίη. — διασώζοντα] „durchzubringen sucht“. — ἐκ] seltener bei ἀπαλλάττεσθαι; Anh. 2; der blosse Genitiv steht § 2, 17, 143.

§ 115. Ἀκούετε] zu § 29. — τούτου] wird in Verbindungen dieser Art meist nicht zugefügt (s. Anh. 2), ist aber logisch unangreifbar und dem pointirten Ausdruck Lykurg's zuzutrauen, der auch § 121 Ἀκούετε, ὦ ἄ., καὶ τούτου τοῦ ψηφίσματος sagt. — ἔπειτα] zu § 27. — ζῶν]

ὑμεῖς δ' αὐτὸ τὸ σῶμα τὸ προδεδωκὸς τὴν πόλιν ζῶν καὶ ὑπο-
116 χείριον ἔχοντες τῇ ψήφῳ ἀτιμώρητον ἐάσετε; καὶ τοσοῦτον ἔσε-
σθέ γε τῶν προγόνων χείρους, ὅσον ἐκεῖνοι μὲν τοὺς λόγῳ μό-
νον τῷ προδότῃ βοηθήσαντας ταῖς ἐσχάταις τιμωρίαις μετῆλθον,
ὑμεῖς δὲ αὐτὸν τὸν ἔργῳ καὶ οὐ λόγῳ τὸν δῆμον ἐγκαταλιπόντα
ὡς οὐδὲν ἀδικοῦντα ἀφήσετε; μὴ δῆτα, ὦ ἄνδρες δικασταί·
ὑμῖν οὔ γε πάτριον, ἀναξίως ὑμῶν αὐτῶν ψηφίζεσθαι. καὶ γὰρ
εἰ μὲν ἕν τι τοιοῦτον γεγονὸς ἦν ψήφισμα, εἶχεν ἄν τις εἰπεῖν
ὡς δι' ὀργὴν μᾶλλον ἢ δι' ἀλήθειαν ἐποιήσαντο· ὅταν δὲ παρὰ
πάντων ὁμοίως εἰληφότες ὦσι τὴν αὐτὴν τιμωρίαν, πῶς οὐκ
117 εὔδηλον ὅτι φύσει πᾶσι τοῖς τοιούτοις ἔργοις ἐπολέμουν; Ἵππαρ-
χον γὰρ τὸν Τιμάρχου οὐχ ὑπομείναντα τὴν περὶ τῆς προδοσίας
ἐν τῷ δήμῳ κρίσιν, ἀλλ' ἔρημον τὸν ἀγῶνα ἐάσαντα, θανάτῳ
τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς ἀδικίας οὐκ ἔλαβον τὸ σῶμα
ὅμηρον, τὴν εἰκόνα αὐτοῦ ἐξ ἀκροπόλεως καθελόντες καὶ συγχω-
νεύσαντες καὶ ποιήσαντες στήλην ἐψηφίσαντο εἰς ταύτην ἀνα-
γράφειν τοὺς ἀλιτηρίους καὶ τοὺς προδότας· καὶ αὐτὸς ὁ Ἵππαρ-

vgl. ὧν ἔτι καὶ νῦν ζῇ τὰ σώματα Din. 1. 38, im Gegensatz zu τὰ ὀστᾶ stellt Lykurg ζῶν selbständig neben ὑποχείριον hin, mehr dem Pathos als der Logik folgend, welche die Unterordnung von ζῶν, also die Streichung von καὶ forderte. — ὑποχείριον ἔχοντες τῇ ψήφῳ] vgl. § 2 ἔχοντες ὑπὸ τῇ ψήφῳ, § 27 u. 91; ὑποχείριον λαβόντες § 119 u. 141.

§ 116. καὶ τοσοῦτον ἔσεσθέ γε . . ὅσον] § 30, „und werdet ihr soviel . . als"? — λόγῳ μόνον] „mit Worten bloss" (Anh. 1 u. 2); aber λόγῳ μόνῳ § 122 u. 123 „mit einem blossen Wort". — μετῆλθον] „nachgingen, verfolgten" (Anh. 2), ein aus der Sphäre der alten Blutrache auf das geordnete Gerichtsverfahren übertragener Ausdruck, wie διώκειν φεύγειν ἁλίσκεσθαι, u. § 146 ἐπεξελθεῖν. — ἔργῳ καὶ οὐ λόγῳ] § 123, 104; s. D. I.[1] ἄρσις zu E. — οὐδὲν ἀδικοῦντα] „ganz u. gar nicht im Unrecht". — οὔγε] s. Anh. 1. „Euch ist's wenigstens nicht von den Vätern überkommen" (wenn Ihr selber auch frivol über dergleichen denkt, s. § 119, 123, 127). — ἕν τι] zu § 95. — γεγονὸς ἦν ψ.] Passiv zu ψ. ποιεῖσθαι. — δι' ἀλήθειαν] weil ihr Wesen es forderte, was nachher durch φύσει (instinctiv) bezeichnet ist. — εὔδηλον] wir „sonnenklar" (braucht von den Rednern nur noch A. 1. 76, dagegen Plato u. Xenophon).

§ 117. Ἵππαρχον] s. Anh. 3. — περὶ] Anh. 2. — τῆς] weil ein bestimmter, sei es schon erwähnter sei es allgemein bekannter Fall bezeichnet wird; vgl. D. 21. 81 u. 93. — ἐν τῷ δήμῳ] hier die Heliaea. — ἔρημον τὸν ἀγῶνα ἐάσαντα] „nicht zu dem P. erschienen war"; s. Buttmann Index zu D. Midiana ἔρημος. — τοῦτον] obwohl analeptisch (zu § 27), doch dem stark betonten θανάτῳ nachgestellt; vgl. § 88. — τῆς ἀδ. . . τὸ σῶμα ὅμηρον] „als Geissel (Bürgen) des Verbrechens (§ 127, ὥσπερ ὁμήρους ἔχομεν τοῦ λόγου τὰ παραδείγματα Pl. Theaet. 202[1]) seine Person" (§ 119, 115, zu 43; ἵν' ἡ πόλις ἔχῃ ὑπείθυνα σώματα A. 3. 27). — ἀκροπόλεως] ohne Artikel (auch § 118), wie πόλις u. ä. (s. Kühner Gr. 2 S. 521), im Munde der

χος ἐν ταύτῃ τῇ στήλῃ ἀναγέγραπται, καὶ οἱ ἄλλοι δὲ προδόται. Καί μοι λαβὲ πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ ἡ εἰκὼν τοῦ Ἱππάρχου τοῦ προδότου ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς στήλης τὸ ὑπόγραμμα καὶ τοὺς ὕστερον προσαναγραφέντας προδότας εἰς ταύτην τὴν στήλην, καὶ ἀναγίγνωσκε, γραμματεῦ. 118

ΨΗΦΙΣΜΑ ΚΑΙ ΥΠΟΓΡΑΜΜΑ ΤΗΣ ΣΤΗΛΗΣ.

Τί δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες; ἆρά γε ὁμοίως ὑμῖν περὶ τῶν ἀδικούντων γιγνώσκειν, καὶ οὐκ, ἐπειδὴ καὶ τὸ σῶμα οὐκ ἐδύναντο ὑποχείριον τοῦ προδότου λαβεῖν, τὸ μνημεῖον τοῦ προδότου ἀνελόντες ταῖς ἐνδεχομέναις τιμωρίαις ἐκόλασαν; οὐχ ὅπως τὸν χαλκοῦν ἀνδριάντα συγχωνεύσειαν, ἀλλ' ἵνα τοῖς ἐπιγιγνομένοις παράδειγμα εἰς τὸν λοιπὸν χρόνον ὡς εἶχον πρὸς τοὺς προδότας καταλίποιεν. 119

Λαβὲ δ' αὐτοῖς καὶ τὸ ἕτερον ψήφισμα περὶ τῶν εἰς Δεκέλειαν μεταστάντων, ὅτε ὁ δῆμος ὑπὸ Λακεδαιμονίων ἐπολιορ- 120

Stadtangehörigen gleichsam Eigenname. — *καὶ . δὲ*] *καὶ οἱ ἄλλοι δὲ Ἕλληνες* D. 18. 43.

§ 118. *τοῦ Ἱππ. τοῦ πρ.*] zu § 87 u. Kühner Gr. 2 S. 520. — *ἔπειτα*] schliesst schärfer an, als *ἔπειτα δέ*; s. D. I.[2] *μέν*. — *ὕστερον προσαναγραφ.*] Anh. 1; § 48 *ὕστερον ἐπικτήτους*. die beiden adverbiellen Zusätze, der zeitliche (*ὕστ.*) und locale (*προς, ἐπι*) bilden, weil der eine den anderen logisch einzuschliessen scheint, nur scheinbar einen Pleonasmus; vgl. D. I.[1] Pleon.

§ 119. *Τί δοκοῦσιν ὑμῖν*;] hat sich von der ursprünglich als Eins gedachten Frage *Ἆρά γε* (zu § 70) *δοκοῦσιν ὑμῖν ὁμοίως . γιγνώσκειν* im Eifer selbständig abgelöst, ohne doch den Zusammenhang mit dem Folgenden aufzugeben, indem das proleptische *τί* seine Erklärung durch *ὁμ. γιγνώσκειν* findet (mehr s. Anh. 2). Erst mit *καὶ οὐκ . . . ἐκόλασαν*; und haben sie nicht vielmehr . . b." wird das Verhältniss der Abhängigkeit von *δοκοῦσι* aufgegeben. — *π. τῶν ἀδικούντων ὁμοίως ὑμῖν γιγνώσκειν*] was Lykurg kaum andeutend vorzuwerfen wagt, hatte Demosthenes wiederholt dem Volke in's Gesicht geschleudert, die Frivolität der Gesinnung s. D. 9. 39 u. 54. — *καὶ*] nach *ἐπειδὴ* „auch" (Bäumlein gr. Partik. S. 153). — *τὸ σῶμα*] „die Person". — *τοῦ προδότου*] wiederholt der Redner, welcher dieses auf Leokrates zielende Wort und Thun immerfort dem Hörer in's Ohr wirft (§ 110; 111; 112; 113 3mal; 114 2mal; 115 2mal; 116, wo klug (wie § 123) direct von Leokrates *ἔργῳ ἐγκαταλιπόντα* st. *προδόντα*, gesagt ist; 117 3mal; 118 2mal) auch an u. St., und ist die harte Stellung des *τοῦ προδότου* ebendaher erklärlich, und ausserdem vielleicht rhythmisch, durch Trennung des *ὑποχείριον* von *λαβεῖν*, wirksam. — *οὐχ ὅπως*] eine nicht seltene Form der amplificatio, durch Zusatz eines formalen negativen Gegensatzes den positiven Gedanken (*ἀλλ' ἵνα*) zu heben (s. D. I.[1] *ἄρσις* zu E.), aber hier etwas gezwungen, weil auf die Fiction dieser Absicht (*τὸ συγχωνεύειν*) kaum ein Lump unter den Hörern verfallen konnte.

§ 120. *αὐτοῖς*] zu § 114. — *εἰς Δεκέλειαν μεταστάντων*] Anh. 3; prägnant, wie § 113, *ἀποστὰς εἰς*

κεῖτο, ὅπως εἰδῶσιν ὅτι περὶ τῶν προδοτῶν οἱ πρόγονοι ὁμοίας καὶ ἀκολούθους ἀλλήλαις τὰς τιμωρίας ἐποιοῦντο. ἀναγίγνωσκε, γραμματεῦ.

ΨΗΦΙΣΜΑ.

121 Ἀκούετε, ὦ ἄνδρες, καὶ τούτου τοῦ | ψηφίσματος, ὅτι τῶν ἐν τῷ πολέμῳ μεταστάντων εἰς Δεκέλειαν κατέγνωσαν, καὶ ἐψηφίσαντο, ἐάν τις αὐτῶν ἐπανιὼν ἁλίσκηται, ἀπαγαγεῖν Ἀθηναίων τὸν βουλόμενον πρὸς τοὺς θεσμοθέτας, παραλαβόντας δὲ παραδοῦναι τῷ ἐπὶ τοῦ ὀρύγματος. ἔπειτα ἐκεῖνοι μὲν τοὺς ἐν αὐτῇ τῇ χώρᾳ μεταστάντας οὕτως ἐκόλαζον, ὑμεῖς δὲ τὸν ἐκ τῆς πόλεως καὶ τῆς χώρας ἐν τῷ πολέμῳ φυγόντα [εἰς Ῥόδον] καὶ προδόντα τὸν δῆμον οὐκ ἀποκτενεῖτε; πῶς οὖν δόξετε ἀπόγονοι εἶναι ἐκείνων τῶν ἀνδρῶν;

122 Ἄξιον τοίνυν ἀκοῦσαι καὶ τοῦ περὶ τοῦ ἐν Σαλαμῖνι τελευτήσαντος γενομένου ψηφίσματος, ὃν ἡ βουλή, ὅτι λόγῳ μόνῳ ἐνεχείρει προδιδόναι τὴν πόλιν, περιελομένη τοὺς στεφάνους αὐτοχειρὶ ἀπέκτεινεν. γενναῖον δέ, ὦ ἄνδρες, τὸ ψήφισμα καὶ ἄξιον τῶν ὑμετέρων προγόνων, δικαίως· ἐγγενεῖς γὰρ οὐ μόνον τὰς ψυχὰς ἀλλὰ καὶ τὰς τῶν ἀδικούντων τιμωρίας ἐκέκτηντο.

ΨΗΦΙΣΜΑ.

Μυσούς Xen. An. 1. 6. 7. — *ἀκολούθους*] § 137 (Strafen die zusammen, *α* copulativum = *ἅμα*, einen Weg, *κέλευθος*, gehen) „zu einander stimmende".

§ 121. *τῷ ἐπὶ τοῦ ὀρύγματος*] vgl. Din. 1. 62 *τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολιτῶν, παραδοθέντες τῷ ἐπὶ τῷ ὀρύγματι* (s. D. I.[2] *ἐπί*), es war eine natürliche „Grube", in welche die Leichen der Verurtheilten geworfen wurden, s. Anh. 2. — *ἔπειτα*] zu § 27. — *τοὺς ἐν αὐτῇ τῇ χώρᾳ μεταστάντας*] ein rein formaler Gegensatz zu *τὸν ἐκ τῆς χώρας φυγόντα*, welchen als Erschwerungsgrund gegen Leokrates zu verwenden bloss der sophistisch getränkten Kunstberedtsamkeit vor sophistirenden Hörern möglich war. — *εἰς Ῥόδον*] Anh. 1.

§ 122. *τοῦ ἐν Σαλαμῖνι τελευτ.*] s. Anh. 3. — *λόγῳ μόνῳ*] zu § 116; *λόγῳ ἐνεχείρει* frappirt noch mehr als *ἐγχειρῇ λέγειν* D. 16. 2, A. 2. 130, 142. — *τοὺς στεφάνους*] „ihre K." Kränze trugen bei ihren Amtshandlungen die Archonten und Priester, und die Redner während sie in der Volksversammlung sprachen. Mit demselben Tacte, wie hier, nahm Xenophon den Kranz ab, als er beim Opfern die Kunde von seines Sohnes Tod erhielt. — *γενναῖον*] generosum; sehr betont durch Stellung an der Spitze und Trennung von seinem *τὸ ψήφ.* und Auslassung von *ἐστί*; aufgenommen durch *ἐγγενεῖς* (s. Anh. 1), in dem Sinne des *φύσει τοῖς τοιούτοις ἐπολέμουν*, also etwa „von edler Art, ihr M., ein Volksbeschluss und würdig der Ahnen (Vorgeborenen), mit Recht. angeborener Besitz war ja ihnen nicht allein die Seele (figura *κατ' ἄρσιν*, zu § 119), sondern auch die Bestrafung der Verbrecher". — *ΨΗΦΙΣΜΑ*] s. Anh. 1.

Τί οὖν, ὦ ἄνδρες; ἆρά γε ὑμῖν δοκεῖ βουλομένοις μιμεῖσθαι 123
τοὺς προγόνους πάτριον εἶναι Λεωκράτην μὴ ἀποκτεῖναι; ὁπότε
γὰρ ἐκεῖνοι ἀνάστατον τὴν πόλιν οὖσαν τὸν λόγῳ μόνῳ προδι-
δόντα οὕτως ἀπέκτειναν, τί ὑμᾶς προσήκει τὸν ἔργῳ καὶ οὐ λό-
γῳ τὴν οἰκουμένην ἐκλιπόντα ποιῆσαι; ἆρ' οὐχ ὑπερβαλέσθαι
ἐκείνους τῇ τιμωρίᾳ; καὶ ὅτ' ἐκεῖνοι τοὺς ἐπιχειρήσαντας τῆς
παρὰ τοῦ δήμου σωτηρίας ἀποστερεῖν οὕτως ἐκόλασαν, τί ὑμᾶς
προσήκει τὸν αὐτοῦ τοῦ δήμου τὴν σωτηρίαν προδόντα ποιῆ-
σαι; καὶ ὅτε ὑπὲρ τῆς δόξης ἐκεῖνοι τοὺς αἰτίους οὕτως ἐτιμω-
ροῦντο, τί ὑμᾶς ὑπὲρ τῆς πατρίδος προσήκει ποιεῖν;

Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τὴν τῶν προγόνων γνῶναι διά- 124
νοιαν, ὡς εἶχον πρὸς τοὺς παρανομοῦντας εἰς τὴν πόλιν· οὐ
μὴν ἀλλ' ἔτι βούλομαι τῆς στήλης ἀκοῦσαι ὑμᾶς τῆς ἐν τῷ βου-
λευτηρίῳ περὶ τῶν προδοτῶν καὶ τῶν τὸν δῆμον καταλυόντων·
τὸ γὰρ μετὰ πολλῶν παραδειγμάτων διδάσκειν ῥᾳδίαν ὑμῖν τὴν
κρίσιν καθίστησι. μετὰ γὰρ τοὺς τριάκοντα οἱ πατέρες ὑμῶν
πεπονθότες ὑπὸ τῶν πολιτῶν οἷα οὐδεὶς πώποτε τῶν Ἑλλήνων
ἠξίωσε, καὶ μόλις εἰς τὴν ἑαυτῶν κατελήλυθότες, ἁπάσας τὰς

§ 123. *ὑμῖν δ. πάτριον ε.*] zu § 115. — *ὁπότε*] „nun", sintemal; geht aus der zeitlichen in die Bedeutung des Grundes über; der Präcedensfall wird eben zur causa; vgl. D. I.[2] *ὅτε*, und § 71 *ὅπου*. — *ἀνάστατον*] zu § 60; durch Xerxes und Mardonios. — *τὸν*] steht etwas hart hier, nicht vor *ἀνάστατον*. — *οὕτως*] „so, wie sie's thaten", ohne Process und *αὐτοχειρί*. — *ὑμᾶς προσήκει . ποιῆσαι*] der mehr sinnliche Dativ u. Inf. wich allmälig bei diesem (s. Frohb. zu Lys. 25. 7 u. Anh. S. 243) u. ä. Verben dem mehr abstracten Accus. c. Inf. — *τὴν οἰκουμένην*] unser „die Welt"; D. I.[2]. weil der Redner den logischen Gegensatz *τὸν ἔργῳ (τὴν πόλιν) προδόντα* doch nicht vom Leokr. auszusprechen wagt (vgl. § 116), versteckt er sich hier hinter die Hyperbel und sagt im Folgenden nicht unrichtig *τοῦ δήμου τὴν σωτηρίαν προδόντα*. Gleichwohl entwickelt Lykurg in den drei, das einfache Factum von Leokrates' Flucht variirenden Enthymemata e contrariis (*ὁπότε ., καὶ ὅτ', καὶ ὅτε*) eine Kraft der inventio und exaggeratio (*δείνωσις*), welche ihn zu einem gefährlichen Ankläger macht; freilich nicht ohne Uebertreibungen; s. Anh. 1. — *ἀποστερεῖν*] wen? s. Anh. 1.

§ 124. *καὶ ταῦτα*] (auch) „schon dies" (das Gesagte); s. Anh. 2. — *τὴν . διάνοιαν, ὡς εἶχον*] = *ὡς εἶχον διανοίας*. — *οὐ μὴν ἀλλὰ*] D. I.[2] — *τῆς στήλης ἀκοῦσαι*] eine noch kühnere Metonymie als unser: die Säule spricht von schlimmen Thaten (*τί οὖν λέγει τὰ γράμματα*; D. 9. 42). — *τῶν προδοτῶν καὶ τῶν τὸν δῆμον καταλυόντων*] etwa unser „Hochverräther an Land und Verfassung". — *μετὰ*] mit; halb unser vermittelst (durch das Medium von) halb „mit Hülfe von"; § 82, D. 19. 82. — *τῶν πολιτῶν*] „ihren Mitbürgern". — *ἠξίωσε*] n. *τ. πολίτας παθεῖν ὑπὸ τῶν πολιτῶν*, „für recht gehalten hat". Das konnte Lykurg wohl als griechischen Grundsatz aussprechen; hatten doch damals selbst Thebaner und Spartaner das Thun der 30 nicht gebilligt;

ὁδοὺς τῶν ἀδικημάτων ἐνέφραξαν, πεπειραμένοι καὶ εἰδότες τὰς
125 ἀρχὰς καὶ τὰς ἐφόδους τῶν τὸν δῆμον προδιδόντων. ἐψηφίσαντο γὰρ καὶ ὤμοσαν, ἐάν τις τυραννίδι ἐπιτιθῆται ἢ τὴν πόλιν προδιδῷ ἢ τὸν δῆμον καταλύῃ, τὸν αἰσθανόμενον καθαρὸν εἶναι ἀποκτείναντα, καὶ κρεῖττον ἔδοξεν αὐτοῖς τοὺς τὴν αἰτίαν ἔχοντας τεθνάναι μᾶλλον ἢ πειραθέντας μετὰ ἀληθείας αὐτοὺς δουλεύειν· ἀρχὴν γὰρ οὕτως ᾤοντο δεῖν ζῆν τοὺς πολίτας, ὥστε μηδ' εἰς ὑποψίαν ἐλθεῖν μηδένα τούτων τῶν ἀδικημάτων. Καί μοι λαβὲ τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

126 Ταῦτα, ὦ ἄνδρες, ἔγραψαν εἰς τὴν στήλην, καὶ ταύτην ἔστησαν εἰς τὸ βουλευτήριον ὑπόμνημα τοῖς καθ' ἑκάστην ἡμέραν συνιοῦσι καὶ βουλευομένοις ὑπὲρ τῆς πατρίδος ὡς δεῖ πρὸς τοὺς τοιούτους ἔχειν. καὶ διὰ τοῦτο ἄν τις αἴσθηται μόνον μέλλοντας αὐτοὺς τούτων τι ποιεῖν, ἀποκτείνειν συνώμοσαν, εἰκότως· τῶν μὲν γὰρ ἄλλων ἀδικημάτων ὑστέρας δεῖ τετάχθαι τὰς τιμωρίας, προδοσίας δὲ καὶ δήμου καταλύσεως προτέρας. εἰ γὰρ προή-

doch s. Anh. 1. — *τὰς ὁδοὺς τῶν ἀδ.*] vgl. D. 24. 38 *ἐφ' ἑκάστην ἁπαντᾷ τὴν ὁδὸν τῶν ἀδικημάτων, κωλύων καὶ οὐκ ἐῶν βαδίζειν τοὺς ἐπιβουλεύοντας ὑμῖν.*

§ 125. *ἐψηφίσαντο*] s. Anh. 3. — *τυραννίδι ἐπιτιθῆται*] scheint technischer Ausdruck gewesen; s. Anh. 2. — *καθαρὸν*] D. I.² — *τ. τὴν αἰτίαν ἔχοντας*] § 53, die beschuldigt werden (Rehd. zu Xen. An. 7. 1. 8, Baiter ad Is. 4. 109) „die Verdächtigen". — *μᾶλλον*] nimmt unmittelbar vor ἢ das entfernte *κρεῖττον* wieder auf (D. I.² Comparativ); ähnlich § 86 *προῃροῦντο . . μᾶλλον ἢ.* — *πειραθέντες*] n. *αὐτῶν*; „nachdem sie die Probe (mit ihnen) gemacht haben". — *μετ' ἀληθείας*] mit (so gewonnener) Wahrheit, ein eigenthümlich bitterer Ausdruck, etwa wie: Wahrheit und Knechtschaft zugleich zu gewinnen [Andere verbinden *πειραθέντας μετ' ἀλ.*]. — *αὐτοὺς*] „selber". — *ἀρχὴν*] „von vorn herein" (Anh. 2) verb. mit *οὕτως . ζῆν τ. π.*

§ 126. *τοὺς τοιούτους*] solche, wie die besprochenen, „Menschen dieser Art". — *ἀποκτείνειν*] § 127 *κτείνειν* [Cobet fordert die Futura, aber], das ganze Gewicht fällt auf das Thun, keines auf die Zeit; s. Rehd. zu Xen. An. 6. 6. 24 u. 7. 7. 31, Kühner Gr. 2. S. 163. — *συνώμοσαν*] feierlicher als das Simplex; Anh. 2. — *εἰκότως*] „mit Fug und Recht"; Anh. 1 zu § 47. — *ὑστέρας τετάχθαι*] vgl. *τὸ γὰρ πράττειν τοῦ λέγειν . ὕστερον ὂν τῇ τάξει* D. 3. 15. Den Gedanken paraphrasirt Din. 3. 8 *ἐπὶ μὲν τῶν ἀδικημάτων σκεψαμένους ἀκριβῶς δεῖ μεθ' ἡσυχίας καὶ ταλήθὲς ἐξετάσαντας οὕτως ἐπιτιθέναι τοῖς ἠδικηκόσι τὴν τιμωρίαν, ἐπὶ δὲ ταῖς φανεραῖς καὶ παρὰ πάντων ὡμολογημέναις προδοσίαις πρώτην τετάχθαι τὴν ὀργὴν καὶ τὴν μετ' αὐτῆς γιγνομένην τιμωρίαν*, und Sallust Cat. 52. 4 nam cetera maleficia tum persequare, ubi facta sunt: hoc nisi provideris ne accidat, ubi evenit, frustra judices implores; capta urbe nihil fit reliqui victis; Thuk. 6. 38. 4. — *δήμου καταλύσεως*] „Verfassungs-

σεσθε τοῦτον τὸν καιρὸν ἐν ᾧ μέλλουσιν ἐκεῖνοι κατὰ τῆς πατρίδος φαῦλόν τι πράττειν, οὐκ ἔστιν ὑμῖν μετὰ ταῦτα δίκην παρ' αὐτῶν ἀδικούντων λαβεῖν· κρείττους γὰρ ἤδη γίγνονται τῆς παρὰ τῶν ἀδικουμένων τιμωρίας.

Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες, τῆς προνοίας ταύτης καὶ 127
τῶν ἔργων ἀξίως, καὶ μὴ ἐπιλανθάνεσθε ἐν τῇ ψήφῳ οἵων ἀνδρῶν ἔκγονοί ἐστε, ἀλλὰ παρακελεύεσθε ὑμῖν αὐτοῖς ὅπως ὅμοια ἐκείνοις καὶ ἀκόλουθα ἐν τῇ τήμερον ἡμέρᾳ ἐψηφισμένοι ἐκ τοῦ δικαστηρίου ἐξίητε. ὑπομνήματα δ' ἔχετε καὶ παραδείγματα τῆς ἐκείνων τιμωρίας τὰ ἐν τοῖς περὶ τῶν ἀδικούντων ψηφίσμασιν ὡρισμένα· διομωμόκατε δ' ἐν τῷ ψηφίσματι τῷ Δημοφάντου κτείνειν τὸν τὴν πατρίδα προδιδόντα καὶ λόγῳ καὶ ἔργῳ καὶ χειρὶ καὶ ψήφῳ. μὴ γὰρ οἴεσθε τῶν μὲν οὐσιῶν ἃς ἂν οἱ πρόγονοι | καταλίπωσι κληρονόμοι εἶναι, τῶν δὲ ὅρκων καὶ τῆς πίστεως ἣν δόντες οἱ πατέρες ὑμῶν ὅμηρον τοῖς θεοῖς τῆς κοινῆς εὐδαιμονίας τῆς πόλεως μετεῖχον, ταύτης δὲ μὴ κληρονομεῖν.

umsturz"; § 124; Anh. 2 zu § 147. — *ἀδικούντων*] dann wann sie Verbrecher sind; Ggs. zu *ἐν ᾧ μέλλουσιν . ποιεῖν.* — *κρείττους . τῆς*] vgl. *ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι τῆς παρὰ τῶν θεῶν τιμωρίας* Lys. 12. 96.

§ 127. *τῶν ἔργων*] „ihres (der Ahnen, aus dieser Vorsorge entspringenden) Thuns" [Andere: = *τῶν ἀδικημάτων* § 2, von Leokr. Thun]. — *ὅπως*] steht sehr selten nach Verben des Befehlens, und dann mit dem Futurum; s. Anh. 2. — *ἀκόλουθα*] zu § 120. — *τῇ τήμερον ἡμέρᾳ*] zu § 2; Din. 1. 107, Xen. An. 4. 6. 9; *ἡ γὰρ αὔριον ἡμέρα μόνη λοιπή ἐστι* Lys. 26. 6, Xen. Oec. 11. 6. — *ἐψηφισμένοι . ἐξίητε*] „wann ihr . herausgeht, ihr . . gestimmt habet"; s. Anh. 2. — *τῆς ἐκείνων τιμωρίας*] „davon wie jene straften". — *διομωμόκατε*] dies war zwar vor 85 Jahren geschehen, aber das Volk, als ein für alle Zeiten solidarisch verbundenes, eignet sich die Thaten und Beschlüsse der Ahnen an; Rehd. zu D. 4. 3. — [die Bedeutung von *διά* in *διομνύναι*, wo diese nicht technisch (M. u. Schoem. att. Proc. 624) gebraucht ist, verstehe ich nicht]. — *Δημοφάντου*] s. Anh. 3. — *καὶ λόγῳ καὶ ἔργῳ καὶ χειρὶ καὶ ψήφῳ*] ist die sinnliche Einkleidung, wie die alte, zumal Rechtssprache liebt, des Begriffes „auf jede Weise" (s. D. I.[1] Erweiterung zu E.) und mehr von der Empfindung als Logik dictirt; denn von den 2 Paaren von Gegensätzen (1 *καὶ λόγῳ καὶ ἔργῳ*, 2 *καὶ χειρὶ καὶ ψήφῳ*, dieses Paar auch bei Ant. 5. 92, Th. 3. 82) geht 2, als das Besondere, in 1, dem Allgemeinen, auf, was durch die chiastische Reihenfolge (D. I.[1] Reihenf.) einigermassen verdeckt wird. ein richtiges Polysyndeton ist der Amphictyonenschwur *τιμωρήσειν καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πάσῃ δυνάμει* A. 2. 116, 3. 109 u. 120, richtig auch, doch durch Inconcinnität geschwächt, Demokritos (bei Stob. *ἀνθ.* 44. 19) *κιξάλλην καὶ λῃστὴν πάντα κτείνων τις ἀθῴως ἂν εἴη καὶ αὐτοχειρίῃ καὶ κελεύων καὶ ψήφῳ.* — *τῶν μὲν ., τῶν δὲ ., ταύτης δὲ*] der erste Theil ist auch hier wieder, für unser Gefühl zu sehr, formaler Gegensatz zu dem wahrhaft erhabenen Hauptgedanken: „die Eidschwüre aber und die Treuversicherung, welche den Göt-

128 *Οὐ μόνον τοίνυν ἡ πόλις ὑμῶν οὕτως ἔσχε πρὸς τοὺς προδιδόντας, ἀλλὰ καὶ Λακεδαιμόνιοι. καὶ μή μοι ἀχθεσθῆτε, ὦ ἄνδρες, εἰ πολλάκις μέμνημαι τῶν ἀνδρῶν τούτων· καλὸν γάρ ἐστι πόλεως εὐνομουμένης περὶ τῶν δικαίων παραδείγματα λαμβάνειν· ἀσφαλέστερον γὰρ ἕκαστος ὑμῶν τὴν δικαίαν καὶ τὴν εὔορκον ψῆφον θήσεται. Παυσανίαν γὰρ τὸν βασιλέα αὐτῶν προδιδόντα τῷ Πέρσῃ τὴν Ἑλλάδα λαβόντες, ἐπειδὴ ἔφθασε καταφυγὼν εἰς τὸ τῆς Χαλκιοίκου ἱερόν, τὴν θύραν ἀποικοδομήσαντες καὶ τὴν ὀροφὴν ἀποσκευάσαντες καὶ κύκλῳ περιστρατοπεδεύσαντες οὐ πρότερον ἀπῆλθον πρὶν ἢ τῷ λιμῷ ἀπέκτειναν, καὶ πᾶσιν ἐπίσημον ἐποίησαν τὴν τιμωρίαν ὅτι οὐδ' αἱ παρὰ τῶν θεῶν ἐπικουρίαι τοῖς προδόταις βοηθοῦσιν, εἰκότως· οὐδὲν γὰρ πρότερον ἀδικοῦσιν ἢ περὶ τοὺς θεοὺς ἀσεβοῦσι, τῶν πα-*
129 *τρίων νομίμων αὐτοὺς ἀποστεροῦντες. μέγιστον δὲ τῶν ἐκεῖ*

tern eure Väter als Geissel (zu § 117) gegeben für ihren Antheil an des Staates Gemeinschaft, diese Treue (D. I.[1] *οὗτος*, I.[2] *δέ*) nicht geerbt zu haben".

§ 128. *μή μοι ἀχθεσθῆτε ..*] vgl. § 16 u. 52. eine Einrichtung anderer griechischer Staaten zu loben war in Sparta geradezu verboten (D. 20. 106), in Athen nicht ohne Prodiorthesis rathsam (vgl. Plato Menex. 235[d]), ein Beweis, wie der übermässige Partikularismus der Griechen auch in dem klugen Athen zu krankhafter Selbstgefälligkeit von feilen Rednern grossgezogen war, so patriotisch immerhin es sein mag *οἰκείοις παραδείγμασι χρῆσθαι* (D. 3. 23, 13. 21, 19. 269, Is. 9. 77). Lykurg durfte den „so gesetzlichen Staat" Sparta citiren, weil dieser seit mehr als 40 Jahren nicht mehr mit Athen zusammengestossen war und in der That dem, sogar Landesverrath nicht scheuenden, Egoismus in Athen einen Spiegel vorhielt (vgl. A. 1. 180 *ἀλλ' οὐ Λακεδαιμόνιοι· καλὸν δ' ἐστὶ καὶ τὰς ξενικὰς ἀρετὰς μιμεῖσθαι*, D. 24. 139 *βούλομαι δ' ὑμῖν, ὦ ἄ. δ., ἐν Λοκροῖς ὡς νομοθετοῦσι διηγήσασθαι· οὐδὲν γὰρ χείρους ἔσεσθε, παράδειγμά τι ἀκηκοότες, ἄλλως τε καὶ ᾧ πόλις εὐνομουμένη χρῆται*). Die Genitive *πόλεως εὐνομουμένης* sind wohl absolute [s. Anh. 1]: „wenn ein Staat gesetzlich wohl geordnet ist, für Rechtsbestimmungen Beispiele (daher) zu nehmen". Es ist aber *καλὸν γάρ ἐστι πόλεος εὐνομουμένης* ein Trimeter, wie mir scheint, kein zufälliger (D.I.[2] Verse), sondern hergenommen aus einer Tragödie. — *τὴν δ. καὶ τὴν ε.*] mit feierlicher Wiederholung des Artikels (D. I.[2] Artikel 1 zu E.) — *Παυσανίαν*] s. Anh. 3. — *προδιδόντα . λαβόντες*] § 55, „beim Verrath (ab)fassen"; Lys. 6. 26 *προδιδοὺς ληφθείς*. — *τῆς Χαλκιοίκου*] d. i. *τῆς Ἀθηνᾶς τ. Χ.* — *πρὶν ἢ*] Jonismus; wird von Vielen den Attikern ganz abgesprochen; doch s. Kühner Gr. 2 S. 949[c]. — *τῷ λιμῷ*] neben *λιμῷ* („durch den H." neben „durch H."; Rehd. zu Xen. An. 7. 4. 5 u. 7. 2. 8). — *ἐπίσημον ἐποίησαν τὴν τιμωρίαν ὅτι*] „sie machten die Strafe zu einer markirten, gezeichneten (auf welcher das Zeichen steht), dass", s. Anh. 1. — *εἰκότως ..*] „natürlich", „denn (in nichts versündigen sie sich eher als, zu § 92) zu allererst vers. sie sich darin dass sie". — *περὶ*] zu § 94. — *ἀποστεροῦντες*] dadurch dass sie Land u. Leute an die Feinde verrathen, die andere Culte pflegen.

γεγενημένων τεκμήριόν ἐστιν ὃ μέλλω λέγειν· νόμον γὰρ ἔθεντο περὶ ἁπάντων τῶν μὴ θελόντων ὑπὲρ τῆς πατρίδος κινδυνεύειν διαρρήδην λέγοντα ἀποθνήσκειν, εἰς αὐτὸ τοῦτο τὴν τιμωρίαν τάξαντες εἰς ὃ μάλιστα φοβούμενοι τυγχάνουσι, καὶ τὴν ἐκ τοῦ πολέμου σωτηρίαν ὑπεύθυνον κινδύνῳ ἐποίησαν μετ' αἰσχύνης. ἵνα δὲ εἰδῆτε ὅτι οὐ λόγον ἀναπόδεικτον εἴρηκα ἀλλὰ μετ' ἀληθείας παραδείγματα, φέρε αὐτοῖς τὸν νόμον.

ΝΟΜΟΣ.

Ἐνθυμεῖσθε δὴ ὡς καλὸς ὁ νόμος, ὦ ἄνδρες, καὶ σύμφορος 130
οὐ μόνον ἐκείνοις ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις. ὁ γὰρ παρὰ τῶν πολιτῶν φόβος ἰσχυρὸς ὢν ἀναγκάσει τοὺς πρὸς τοὺς πολεμίους κινδύνους ὑπομένειν· τίς γὰρ ὁρῶν θανάτῳ ζημιούμενον τὸν προδότην ἐν τοῖς κινδύνοις ἐκλείψει τὴν πατρίδα; ἢ τίς παρὰ τὸ συμφέρον τῆς πόλεως φιλοψυχήσει εἰδὼς ὑποκειμένην αὐτῷ τιμωρίαν — οὐδεμίαν γὰρ ἄλλην δεῖ ζημίαν εἶναι τῆς δειλίας — θάνατον; εἰδότες γὰρ ὅτι δυοῖν κινδύνοιν ὑποκειμένοιν ἀναγκαῖον ἔσται θατέρου μετασχεῖν, πολὺ μᾶλλον αἱ-

§ 129. τῶν] Gen. obj. — διαρρήδην λέγοντα ἀποθνήσκειν] „mit klaren Worten (ausdrücklich) den Tod verlangt". — εἰς . .] eben (dahin) darauf mit ihrer Strafbestimmung zielend, (wohin) worauf die Angst am meisten gerichtet ist, „eben das Ziel bei ihrer Strafbestimmung im Auge, was gerade das Ziel von jenen Schrecken war". Das wiederholte εἰς, beidemal in seltenen Verbindungen (vgl. zu § 85, φοβ. εἰς S. O. T. 980, πρὸς Kr. zu Th. 6. 11. 4), weist, wie mit Fingern, auf den Hauptbegriff Tod hin. — ὑπεύθυνον . .] § 148; „unterwarfen die . einer gefährlichen Rechenschaftsablegung, bei welcher Gefahr sammt Schande drohte". Auch hier abermal Würde, wie Härte im Ausdruck, und die Neigung zur Phrasenbildung mit volltönenden Adjectiven; vgl. D. 18. 189 δέδωκεν αὐτὸν ἐπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, τοῖς καιροῖς, τῷ βουλομένῳ. — ἀναπόδεικτος] findet sich zuerst bei Lykurg, s. Anh. 2; hier in chiastischem Ggs. zu μετ' ἀληθείας (§ 125, mit Wahrheit verbundene, wahrhaftige), während es in der Form an παραδείγματα anklingt.

§ 130. ὁ παρὰ τῶν π. φόβος] Anh. 2 zu § 15. dem Griechen geht der Schrecken von den B. aus, dem Deutschen sitzt Furcht und Schreck vor den B. im eigenen Ich. — πρὸς] s. Schneider zu Is. 4. 26 und die sehr ähnlichen Stellen bei Lys. 14. 15, 2. 25 (wo auch das dichterisch gefärbte φιλοψυχεῖν steht). — ὑποκειμένην] „ihn erwartet"; s. Anh. 2 zu § 65. — τιμωρίαν . . θάνατον] „Strafe — keine andere ja soll es für Feigheit geben — des Todes". Der parenthetisch eingeschobene Gedanke οὐδεμίαν . . δειλίας (unnöthig für das oben besprochene Sparta, welches der Redner ja deshalb citirt hatte, weil dort Todestrafe stand auf dem μὴ θέλειν ὑπὲρ τῆς πατρίδος κινδυνεύειν, Leokrates' eigentlichem Verbrechen) ist eben auf Athen und Leokrates gezielt, welchen Lykurg der δειλία wohl überführen, aber dadurch nur in Atimie, nicht zu Tode bringen konnte. — ὑποκειμένοιν] „vorliegen"; s. Anh. 2 zu § 65.

ρήσονται τὸν πρὸς τοὺς πολεμίους ἢ τὸν πρὸς τοὺς νόμους καὶ τοὺς πολίτας.

131 Τοσούτῳ δ' ἂν δικαιότερον οὗτος ἀποθάνοι τῶν ἐκ τῶν στρατοπέδων φευγόντων, ὅσον οἱ μὲν εἰς τὴν πόλιν ἥκουσιν ὡς ὑπὲρ ταύτης μαχούμενοι ἢ κοινῇ μετὰ τῶν ἄλλων πολιτῶν συνατυχοῦντες, οὑτοσὶ δ' ἐκ τῆς πατρίδος ἔφυγεν ἰδίᾳ τὴν σωτηρίαν ποριζόμενος, οὐδὲ ὑπὲρ τῆς ἰδίας ἑστίας ἀμύνεσθαι τολμήσας, ἀλλὰ μόνος οὗτος τῶν πάντων ἀνθρώπων καὶ τὰ τῆς φύσεως οἰκεῖα καὶ ἀναγκαῖα προδέδωκεν, ἃ καὶ τοῖς ἀλόγοις ζώοις
132 μέγιστα καὶ σπουδαιότατα διείληπται. τὰ γοῦν ζῶα ⟨ἃ⟩ πετεινὰ μάλιστα πέφυκε πρὸς τάχος, ἔστιν ἰδεῖν ὑπὲρ τῆς αὐτῶν νεοττιᾶς ἐθέλοντα ἀποθνήσκειν· ὅθεν καὶ τῶν ποιητῶν τινες εἰρήκασιν

[οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον,
ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν].

ἀλλὰ Λεωκράτης τοσοῦτον ὑπερβέβληκε δειλίᾳ, ὥστε τὴν πατρίδα
133 τοῖς πολεμίοις ἐγκατέλιπε. τοιγαροῦν οὐδεμία πόλις αὐτὸν εἴασε

§ 131. Damit noch nicht zufrieden — denn Lykurg ruht selten bevor er über das Ziel hinaus ist — stellt er (*τοσούτῳ .. ὅσον*, Schneider zu Isokr. 1. 4, 8. 47, s. zu Lyk. § 30) vermittelst desselben sophistischen Trugmaasses, wie § 121, Leokrates' Handlung unter die des Fahnenflüchtigen (*ἐκ τῶν στρατοπέδων φεύγ.*) und er konnte hoffen damit durchzudringen, weil er die den Hörern sehr erinnerliche Fahnenflucht des ganzen athenischen Bürgerheeres bei Chaeronea in kluger und wohlthuender Weise Leokrates' Flucht gegenüberstellt, und so die Beschämung der Hörer gegen Leokr. wendet: nicht, um sich selber zn retten, wie Leokrates that, waren sie geflohen sondern heimgekehrt, um für das V. zu kämpfen oder gemeinsam (*κοινῇ μετὰ τ. ἄ. συνατ.*, s. D. I.[1] Pleonasmus) unterzugehen (s. Anh. 1). — *ἀλλὰ μόνος οὗτος ..*] „vielmehr hat er (Lyk. braucht gern das stärkere *οὗτος*: § 126 *ταύτην*, 117 *τοῦτον*, 3 *ταύτῃ*) allein sogar die natürlichen Pflichten und Bande" (*τὰ τῆς φύσεως οἰκεῖα* und *τὰ τῆς συγγενείας ἀναγκαῖα* D. 45. 53 u. 54), „welche ja schon (Lys. 12. 98, D. 19. 1, 21. 90; vgl. zu § 2, u. 71 *ὅπου καὶ*) angenommen, gültig sind" (Hesychios *διειληφότες . νομίσαντες*).

§ 132. *τὰ γοῦν ζῶα ἃ πετεινὰ μ. πέφυκε πρὸς τάχος*] „nun die Thiere ja (zu § 86), welche (Anh. 1) geflügelt (prädicativisch, Rehd. zu Xen. An. 7. 3. 40) von Natur angewiesen sind auf (*πεφυκέναι πρὸς ἀρετὴν*, Isok. u. Xen., *πρὸς σωφροσύνην* Plato) Sch." — *τῶν ποιητῶν τινες*] das folgende poetische Citat können nicht füglich einige Dichter gesagt haben; Lykurg aber hatte aus mehreren citirt, die Verse aber bei der Herausgabe nicht aufgenommen (s. zu § 92), später ist dann ein, wenig passendes, Citat eingesetzt. — *ἄλλην*] Anh. 1; über den gnomischen Aor. *ἠξίωσεν* (auch § 100 v. 29) s. D. I.[2] Aor. — *ὑπερβέβληκεν*] absolut (wie D. 42. 13, oft bei Isokr., s. Schneider zu 1. 27 u. 9. 13) „ist so masslos feig gewesen".

§ 133. Leokrates hatte, um sich zu retten, feig Athen, dann wieder, um heimzukehren, Rhodos und Me-

παρ' αὐτῇ μετοικεῖν, ἀλλὰ μᾶλλον τῶν ἀνδροφόνων ἤλαυνεν, εἰκότως· οἱ μὲν γὰρ φόνου φεύγοντες εἰς ἑτέραν πόλιν μεταστάντες οὐκ ἔχουσιν ἐχθροὺς τοὺς ὑποδεξαμένους, τοῦτον δὲ τίς ἂν ὑποδέξαιτο πόλις; ὃς γὰρ ὑπὲρ τῆς αὐτοῦ πατρίδος οὐκ ἐβοήθησε, ταχύ γε ἂν ὑπὲρ τῆς ἀλλοτρίας κίνδυνόν τινα ὑπομείνειε. κακοὶ γὰρ καὶ πολῖται καὶ ξένοι καὶ ἰδίᾳ φίλοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων εἰσίν, οἳ τῶν μὲν ἀγαθῶν τῶν τῆς πόλεως μεθέξουσιν, ἐν δὲ ταῖς ἀτυχίαις οὐδὲ βοηθείας ἀξιώσουσι. καίτοι τὸν ὑπὸ τῶν μηδὲν | ἀδικουμένων μισούμενον καὶ ἐξελαυνόμενον τί 134
δεῖ παθεῖν ὑφ' ὑμῶν τῶν τὰ δεινότατα πεπονθότων; ἆρ' οὐ τῆς ἐσχάτης τιμωρίας τυγχάνειν; καὶ μήν, ὦ ἄνδρες, τῶν πώποτε προδοτῶν δικαιότατ' ἂν Λεωκράτης, εἴ τις μείζων εἴη τιμωρία θανάτου, ταύτην ὑπόσχοι. οἱ μὲν γὰρ ἄλλοι προδόται, μέλλοντες ἀδικεῖν ὅταν ληφθῶσι, τιμωρίαν ὑπέχουσιν· οὗτος δὲ μόνος διαπεπραγμένος ὅπερ ἐπεχείρησε, τὴν πόλιν ἐγκαταλιπών, κρίνεται.

gara verlassen. Die einfachen Facta legt der Redner so aus, dass Leokr. damals als Verräther, jetzt als Auswurf der Menschheit erscheint. Das ist *δείνωσις*, aber nicht Wahrheit. — *ἀλλὰ*] n. *ἑκάστη*, zu entnehmen aus *οὐδεμία*; D. I.[2] Ellipse. — *εἰκότως*] „nicht mehr als billig"; Anh. 2 zu § 47. — *οἱ φόνου φεύγοντες*] „die wegen Mordes in der Verbannung sind"; in welche jeder beim Areopag Angeklagte vor Fällung des Urtheilsspruches freiwillig gehen konnte; s. Weber zu Dem. 23. 31 *τοὺς ἐπὶ φόνου φεύγοντας*. — *ἐχθροὺς*] „zu Feinden". — *ὑπὲρ*] bei *βοηθεῖν* ist ungewöhnlich, gewöhnlich bei *ἀμύνασθαι* (§ 131); denn hier stellt sich der Vertheidiger abwehrend, zum Schutze über etwas, was der erst zu Hülfe Laufende noch nicht thut. Das feine Sprachgefühl mindert sich zusehends bei den nicht hervorragenden Classikern, während die Neigung zu variiren, um neu zu sein, zunimmt. — *ταχύ γε*] „gleich ja würde er"; zu § 71. — *κακοὶ*] gehört zu den 3 folgenden, polysyndetisch vereinigten Begriffen; im Deutschen: schlechte B., schlechte Fremde, schl. persönliche Fr. sind". — *μεθέξουσι*] vom Standpunkt der aufnehmenden Bürger. — *ἀξιώσουσιν*] n. *αὐτήν*.

§ 134. *τῶν πώποτε προδοτῶν*] ist, während häufig *πώποτε* adverbiell zu Participien tritt (s. Anh. 2), ungewöhnlich bei Substantiven, aber doch eben so wenig sprachwidrig, wie *τήν ποτε φιλίαν* Andok. 3. 23. — *μέλλοντες ἀδικεῖν* ist als der betonte Begriff, Gegensatz zu *διαπεπραγμένος*, vor *ὅταν* (häufig vor *εἰ* und *ἐὰν*, s. D. I.[1] Stellung 1) *ληφθῶσι* getreten, also statt cum in faciendo scelere deprehenduntur gesagt in fac. sc. cum depr. vgl. Anh. 1. — *ὅπερ*] kann von einem zu ergänzenden *διαπράξασθαι*, aber auch direct von *ἐπεχείρησε* abhängen, welches bisweilen den Accus. st. des Dativs bei sich hat (Schneider zu Is. 1. 3). — *τὴν πόλιν ἐγκαταλιπών*] Epexegese des Relativpronomens (Rehd. zu Xen. An. 7. 2. 4). Mächtig hebt sich von dem schwer belasteten Subject das, durch kurze rhetorische Pause zu trennende, Prädicat *κρίνεται* ab: „die anderen Verräther ja, auf dem Gange zu ihren Verbrechen abgefasst, verfallen der Rache, einzig Leokrates kommt, nach Vollendung seines Unterneh-

135 *Θαυμάζω δὲ καὶ τῶν συνηγορεῖν αὐτῷ μελλόντων, δια τί ποτε τοῦτον ἀξιώσουσιν ἀποφυγεῖν. πότερον διὰ τὴν πρὸς αὐτοὺς φιλίαν; ἀλλ' ἔμοιγε δοκοῦσι δικαίως οὐκ ἂν χάριτος τυχεῖν ἀλλ' ἀποθανεῖν, ὅτι χρῆσθαι τούτῳ τολμῶσι. πρὶν μὲν γὰρ τοῦτο πρᾶξαι Λεωκράτην ἄδηλον ἦν ὁποῖοί τινες ὄντες ἐτύγχανον, νῦν δὲ πᾶσι φανερὸν ὅτι τοῖς αὐτοῖς ἤθεσι χρώμενοι τὴν πρὸς τοῦτον φιλίαν διαφυλάττουσιν, ὥστε πολὺ πρότερον ὑπὲρ αὑτῶν αὐτοῖς ἐστιν ἀπολογητέον ἢ τοῦτον παρ' ὑμῶν ἐξαιτητέον.*

136 *Ἡγοῦμαι δ' ἔγωγε καὶ τὸν πατέρα αὐτῷ τὸν τετελευτηκότα, εἴ τις ἄρα ἔστιν αἴσθησις τοῖς ἐκεῖ περὶ τῶν ἐνθάδε γιγνομένων, ἁπάντων ἂν χαλεπώτατον γενέσθαι δικαστήν, οὗ τὴν χαλκῆν*

mens, ein thatsächlicher Deserteur — vor Gericht". Die Argumentation ist geschlossen mit Angabe des wirklichen Thatbestandes: *ὁ Λεωκράτης τὴν πόλιν ἐγκαταλιπὼν κρίνεται.* dieser Thatbestand ist aber, während er allein zu einer Klage *δειλίας* berechtigte, auch hier (*οἱ ἄλλοι προδόται*), wie in der ganzen Rede, auf das Gebiet der *προδοσία* verrückt.

§ 135. Der Rest der Rede schlägt jede Fürbitte für Leokrates nieder. — *Θαυμάζω δὲ*] Uebergangsformel (s. Birkler Programm von Ehingen 1867 S. 12): „ich staune aber auch (wie darüber dass Leokrates überhaupt noch gerichtet wird) über die". Den Genitiv regiert der in Eins zusammengefasste Objectivsatz (s. Anh. 2); vgl. A. 3. 230 *Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ ἄ. Ἀθ., καὶ ζητῶ πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσαισθε τὴν γραφήν, πότερ' ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γέγονε.* — *διὰ τί ποτε*] betontes „weshalb"; verb. mit *ἀποφυγεῖν*; vgl. *διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι* Lys. 12. 89. — *πότερον*] ist, weil die Widerlegung dieses Punktes sich weit ausspinnt, nachher in anderer als Frageform fortgesetzt; s. Frohb. zu Lys. 14. 41, Kühner Gr. 2 S. 1031 A. 20. — *τὴν*] „seiner". — *χάριτος*] eine Gunst(beweisung), § 139 (Lys. 27. 13, Frohb. zu Lys. 14. 22. — *ἀλλ' ἀποθανεῖν*] schneidend kurz in Form und Inhalt. — *ὁποῖοί τινες*] „was für eine Art von Menschen (Rehd. D. I.² *τις* u. zu Xen. An. 7. 3. 35) sie eben sind", d. h. vorher konnte ihr Umgang mit Leokrates nichts für ihren Charakter beweisen. — *ἐξαιτητέον*] „loszubitten nöthig haben"; Lys. 30. 31 *τῶν ἐξαιτησομένων . . ἠγοῦμαι ἐνίοις προσήκειν ὑπὲρ τῶν ἑαυτοῖς πεπραγμένων ἀπολογεῖσθαι πολὺ μᾶλλον ἢ τοὺς ἀδικοῦντας σώζειν προαιρεῖσθαι.*

§ 136. Der nächste Freund, für Leokr. einzutreten, wäre doch sein eigener Vater, aber auch dieser würde ihn, und erst recht, verdammen. Die in der Citirung Gestorbener liegende Prosopopoiie (s. Volkmann Rhetorik S. 231), vorwiegend für den Epilog verwandt; war bei der Zweifelhaftigkeit der Sache und der Zweifelsucht der damaligen Athener ein so gewagtes rhetorisches Mittel, dass meist ein Zusatz dabeisteht, wie hier: „wenn nämlich (D. I.² *ἄρα*) die dort (ein natürlicher Euphemismus, wie unser „im Jenseits") Empfindung haben für das was hier (auf Erden) geschieht"; eine in Plato's Schule sicherlich vielbehandelte These (s. Anh. 2). Ganz wie hier, spricht Is. 19. 42, wo 44 auch *οἶμαι . ἂν αὐτὸν (τὸν πατέρα) πάντων γενέσθαι ταύτῃ χαλεπώτατον δικαστήν.* — *οὗ*] Gen. object. [um es, gewaltsam, als Gen. subject. zu fassen, müsste bewiesen sein, dass es verboten war, seine eigene Bildsäule zu stif-

εἰκόνα ἔκδοτον κατέλιπε τοῖς πολεμίοις ἐν τῷ τοῦ Διὸς τοῦ σωτῆρος ἱεροσυλῆσαι καὶ αἰκίσασθαι, καὶ ἣν ἐκεῖνος ἔστησε μνημεῖον τῆς αὑτοῦ μετριότητος, ταύτην αὐτὸς ἐπονείδιστον ἐποίησε· τοιούτου γὰρ υἱοῦ πατὴρ προσαγορεύεται. διὸ καὶ πολλοί μοι 137 *προσεληλύθασιν, ὦ ἄνδρες, ἐρωτῶντες διὰ τί οὐκ ἐνέγραψα τοῦτο εἰς τὴν εἰσαγγελίαν, προδεδωκέναι τὴν εἰκόνα τὴν τοῦ πατρός, τὴν ἐν τῷ τοῦ Διὸς τοῦ σωτῆρος ἀνακειμένην. ἐγὼ δέ, ὦ ἄνδρες, οὐκ ἠγνόουν τοῦτο τὸ ἀδίκημα ἄξιον τῆς μεγίστης τιμωρίας, ἀλλ' οὐχ ἡγούμην δεῖν περὶ προδοσίας τοῦτον κρίνων ὄνομα Διὸς σωτῆρος ἐπιγράψαι πρὸς τὴν εἰσαγγελίαν.*

Ἐκπέπληγμαι δὲ μάλιστα ἐπὶ τοῖς μήτε γένει μήτε φιλίᾳ 138 *μηδὲν προσήκουσι, μισθοῦ δὲ συναπολογουμένοις ἀεὶ τοῖς κρινομένοις, εἰ λελήθασιν ὑμᾶς τῆς ἐσχάτης ὀργῆς δικαίως ἂν τυγχάνοντες. τὸ γὰρ ὑπὲρ τῶν ἀδικημάτων ἀπολογεῖσθαι τεκμήριόν ἐστιν ὅτι καὶ τῶν πεπραγμένων οἱ τοιοῦτοι ἂν μετάσχοιεν. οὐ γὰρ δεῖ μὴ καθ' ὑμῶν γεγενῆσθαι μόνον, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας.*

ten. was aber Leokrates' Vater dazu bewogen hat, können wir nicht wissen]. — *ἔκδοτον κατέλιπε*] zu § 85. — *ἱεροσυλῆσαι*] abh. von *ἔκδοτον κατέλιπε*, und hier transitiv, wie D. 57. 67 *ἱεροσυλήσαντες τὰ ὅπλα ἃ ἐγὼ ἀνέθηκα τῇ Ἀθηνᾷ*. — *αἰκίσασθαι*] „zu schänden" (durch Verstümmlung, Einschmelzung). — *τ. αὐτὸς ἐπον.*] „über diese hat Er (vielleicht noch stärker, wenn auch weniger natürlich als *οὗτος*) Schimpf gebracht". Auch dieser Gegensatz und das Folgende beweist wohl, dass es die Bildsäule des Vaters selber war.

§ 137. *τοῦτο ., προδεδωκέναι*] n. *αὐτὸν*; s. D. I.[2] Artikel 2. — *ἄξιον*] n. *ὄν*; Anh. 2. — *οὐχ ἡγούμην δεῖν*] „ich durfte meines Erachtens nicht"; wobei sich das Particip im Nomin. an *ἡγούμην* anschliesst, § 142 (D. I.[2] *οἴεσθαι δεῖν*). — *ὄνομα Διὸς σωτῆρος ἐπιγράφειν*] ein etwas bitteres Spielen mit *ἐπιγράφειν*, im gerichtlichen Sinne vom Kläger gesagt, welcher die seines Ermessens zuzuerkennende Busse auf die Klageschrift schreibt (*τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ, ἐάν γ' ἁλῷς*; Arist. Plut. 480); der Name „Zeus Retter" (s. Anh. 2) konnte ja ein Omen für *σωτηρία* als *τίμημα* werden. weil das *τίμημα* dem Titel der Klageschrift (§ 34) zugefügt wird, sagt Lykurg nicht *εἰς* sondern *πρὸς τὴν εἰσαγγελίαν*, ähnlich wie A. 3. 116 *ἀσπίδας ἀνέθηκεν πρὸς τὸν νεών*.

§ 138. *Ἐκπέπληγμαι δὲ*] „ich bin ausser mir". — *ἐπὶ*] „über". — *εἰ*] st. *ὅτι*, mildert den gegen die Richter gekehrten Vorwurf. — *ἀεὶ τ. κρινομ.*] „den jedesmal"; Rehd. zu Xen. An. 7. 5. 15. — *ἂν τυγχάνοντες*] = *ὅτι ἂν τυγχάνοιεν*, dasselbe was § 63 *δικαίως ἂν ἀποθάνοιεν*, § 135 *δικ. ἂν ἀποθανεῖν* heisst. — *ἂν μετάσχοιεν*] „Theil haben dürften"; (nicht „würden", weil die Zukunft durch das Perf. *πεπραγμένων* ausgeschlossen ist), also so viel als „in gewissem Sinne Theilnehmer des Geschehenen sind". sie sind natürlich nicht direct Theilnehmer und Gegner des Staates gewesen, aber an dem Geschehenen moralisch durch ihre Begünstigung des Thäters betheiligt. — *οὐ γὰρ δεῖ μὴ καθ' ὑμῶν*

139 *Καίτοι τινὲς αὐτῶν οὐκέτι τοῖς λόγοις ὑμᾶς παρακρούσασθαι ζητοῦσιν, ἀλλ' ἤδη ταῖς αὐτῶν λειτουργίαις ἐξαιτεῖσθαι τοὺς κρινομένους ἀξιώσουσιν· ἐφ' οἷς ἔγωγε καὶ μάλιστ' ἀγανακτῶ. εἰς γὰρ τὸν ἴδιον οἶκον αὐτὰς περιποιησάμενοι κοινὰς χάριτας ὑμᾶς ἀπαιτοῦσιν. οὐ γὰρ εἴ τις ἱπποτετρόφηκεν ἢ κεχορήγηκε λαμπρῶς ἢ τῶν ἄλλων τῶν τοιούτων τι δεδαπάνηκεν, ἄξιός ἐστι παρ' ὑμῶν τοιαύτης χάριτος — ἐπὶ τούτοις γὰρ αὐτὸς μόνος στεφανοῦται, τοὺς ἄλλους οὐδὲν ὠφελῶν —, ἀλλ' εἴ τις τετριηράρχηκε λαμπρῶς ἢ τείχη τῇ πατρίδι περιέβαλεν ἢ πρὸς τὴν κοινὴν*
140 *σωτηρίαν ἐκ τῶν ἰδίων συνεισπόρησε· ταῦτα γάρ ἐστι κοινῶς ὑπὲρ ὑμῶν ἁπάντων, καὶ ἐν μὲν τούτοις ἔστιν ἰδεῖν τὴν ἀρετὴν τῶν ἐπιδεδωκότων, ἐν ἐκείνοις δὲ τὴν εὐπορίαν μόνον τῶν δεδαπανηκότων. ἡγοῦμαι δ' ἔγωγε οὐδένα οὕτω μεγάλα τὴν πόλιν εὐηργετηκέναι, ὥστ' ἐξαίρετον ἀξιοῦν λαμβάνειν χάριν τὴν κατὰ*

γεγενῆσθαι μόνον] s. Anh. 1; in dem Sinne: es genügt ja nicht, dem Staate nicht direct entgegengehandelt zu haben, man muss auch positiv für ihn einstehen.

§ 139. *τινὲς*] „Indess, Manche von ihnen suchen nicht weiter (Anh. 2) durch ihre Reden [zu stolz dazu] euch zu berücken (D. I.[2] *παρά*), werden aber schon [ein halb temporales halb qualitatives schon] den Anspruch erheben, kraft ihrer eigenen Staatsleistungen die vor Gericht Stehenden loszubitten." Lykurg hat ganz bestimmte Männer im Sinne, welche durch Hippotrophie (die Unterhaltung von Pferden für Zwecke des Krieges und der Festaufzüge und Festspiele, s. Frohb. Einl. zu Lys. R. 14 S. 4 und zu Lys. 19. 63), oder Choregie (die Ausrüstung von lyrischen und dramatischen Chören) persönlichen Ruhm gewonnen hatten, während die Trierarchie (Ausrüstung von Kriegsschiffen) dem Staat Nutzen brachte. — *καὶ μάλιστα*] vel maxime; A. 1. 27, D. I.[2] *καὶ μάλα*. — *εἰς . περιποιησάμενοι*] in das eigene Haus als gelegentlich vor Gericht zu verwerthendes Capital gebracht, „für das e. H. eingebracht haben", s. Anh. 2. — *κοινὰς χ. ὑ. ἀ.*] „fordern sie euch staatliche Gunstbezeugungen (Frohb. zu Lys. 14. 22) ab" (gleichsam als schuldig). — *ἱπποτετρόφηκεν*] s. Anh. 1. — *στεφανοῦται*] s. Harpokration: *Στεφανῶν τοὺς νενικηκότας· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου* [19. 193] *ἀντὶ τοῦ τιμῶν . καὶ Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως φησιν· ἀλλὰ μὴν καὶ Καλλισθένην ῥ' μναῖς ἐστεφανώσατε. καὶ παρ' ἄλλοις ἐπὶ ταύτης τῆς ἐννοίας τὸ στεφανοῦν, ὡς παρά τε Θεοπόμπῳ ἐν νζ' καὶ Μενάνδρῳ ἐν Αὐτὸν πενθοῦντι.* vgl. zu § 50 *στέφανον*. — *τὰ τείχη τῇ π. περ. . . συνεισπόρησε*] D. I.[2] *σύν*; gewiss eine Anspielung zu Gunsten des Demosthenes, dessen Kranzprocess bald nach unserer Rede zur gerichtlichen Entscheidung kam, vielleicht auch auf das, was sein eigener Sohn für Ausbesserung der Mauern (s. Einl. Anm. 28.) gethan hatte.

